ἐπάνηκ᾽, ἐκείνωι πᾶν τὸ πρᾶγμ᾽ εἰπὼν caφῶc.
Δα. τουτὶ τὸ κακὸν τί ποτ᾽ ἐcτίν; ὡc οὔ μοι πάνυ
τὸ πρᾶγμ᾽ ἀρέcκει. μειράκιον διακονεῖ
κόρηι· πονηρόν. ἀλλὰ c᾽, ὦ Κνήμων, κακὸν
κακῶc ἅπαντεc ἀπολέcειαν οἱ θεοί.
ἄκακον κόρην μόνην ἀφεὶc ἐν ἐρημίαι
ἐᾶιc, φυλακὴν οὐδεμίαν ὡc προcῆκον ἦν
ποιούμενοc. τουτὶ καταμανθάνων ἴcωc
οὗτοc προcερρύη, νομίζων ὡcπερεὶ
ἕρμαιον. οὐ μὴν ἀλλὰ ⟨τ⟩ἀδελφῶι γε δεῖ
αὐτῆc φράcαι με τὴν ταχίcτην ταῦθ᾽, ἵνα
ἐν ἐπιμελείαι τῆc κόρηc γενώμεθα.
ἤδη δὲ τοῦτ᾽ ἐλθὼν ποήcειν μοι δοκῶ.
καὶ γὰρ προcιόνταc τούcδε Πανιcτάc τιναc
εἰc τὸν τόπον δεῦρ᾽ ὑποβεβρεγμένουc ὁρῶ,
οἷc μὴ ᾽νοχλεῖν εὔκαιρον εἶναί μοι δοκεῖ.

ΧΟΡΟΥ

## ACTVS II

ΓΟΡΓΙΑC
οὕτω παρέργωc δ᾽, εἰπέ μοι, τῶι πράγματι
φαύλωc τ᾽ ἐχρήcω;
Δα. πῶc;
(Γο.) ἔδει cε, νὴ Δία,
τὸν τῆι κόρηι προcιόντα, ⟨Δᾶ᾽⟩, ὅcτιc ποτ᾽ ἦν,
ἰδεῖν τότ᾽ εὐθύc, τοῦτο τοῦ λοιποῦ χρόνου
εἰπεῖν θ᾽ ὅπωc μηδεὶc ποτ᾽ αὐτὸν ὄψεται
ποιοῦντα· νυνὶ δ᾽ ὥcπερ ἀλλοτρίου τινὸc
πράγματοc ἀπέcτηc. οὐκ ἔνεcτ᾽ ἴcωc φυγεῖν
οἰκειότητα, Δᾶ᾽. ἀδελφῆc ἔτι μέλει